τὸν κατὰ τὸν Η· ὁ Ε ἄρα τὸν Η πολλαπλασιάσας τὸν Δ πε-
ποίηκεν· ἀλλὰ μὴν διὰ τὸ πρὸ τούτου καὶ ὁ Α τὸν Γ πολ-
λαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Α, Γ ἴ-
σος ἐστὶ τῷ ἐκ τῶν Ε, Η· ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Ε, ὁ Η
πρὸς τὸν Γ. οἱ δὲ Α, Ε πρῶτοι· οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι·
οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχον-
τας αὐτοῖς ἰσάκις, ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ
ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Β· μετρεί-
τω αὐτὸν κατὰ τὸν Θ· ὁ Ε ἄρα τὸν Θ πολλαπλασιάσας
τὸν Β πεποίηκεν· ἀλλὰ μὴν καὶ ὁ Α ἑαυτὸν πολλαπλα-
σιάσας τὸν Β πεποίηκεν· ὁ ἄρα ἐκ τῶν Ε, Θ ἴσος ἐστὶ
τῷ ἀπὸ τοῦ Α· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Α, ὁ Α πρὸς τὸν
Θ. οἱ δὲ Α, Ε πρῶτοι· οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι· οἱ δὲ ἐ-
λάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰ-
σάκις, ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος
τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Α ὡς ἡγούμενος
τὸν ἡγούμενον· ἀλλὰ μὴν καὶ οὐ μετρεῖ· ὅπερ ἀδύνα-
τον· οὐκ ἄρα οἱ Ε, Α πρῶτοι πρὸς ἀλλήλους εἰσίν.
σύνθετοι ἄρα· οἱ δὲ σύνθετοι ὑπὸ πρώτου ἀριθμοῦ
τινὸς μετροῦνται· καὶ ἐπεὶ
ὁ Ε πρῶτος ὑπόκειται·
ὁ δὲ πρῶτος ὑπὸ ἑτέρου
ἀριθμοῦ οὐ μετρεῖται ἢ ὑ-
φ' ἑαυτοῦ· ὁ Ε ἄρα τοὺς
Α, Ε μετρεῖ· ὥστε ὁ Ε τὸν Α
μετρεῖ· μετρεῖ δὲ καὶ τὸν Δ.

ὁ Ε ἄρα τοὺς Α, Δ μετρεῖ· ὁμοίως δὴ δείξομεν ὅτι ὑφ' ὅσων
ἂν ὁ Δ πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν
καὶ ὁ Α μετρηθήσεται· ὅπερ ἔδει δεῖξαι:-

ιγ Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν· ὁ δὲ μετὰ τὴν μονάδα πρῶτος ᾖ· ὁ μέγιστος ὑπ'
οὐδενὸς ἄλλου μετρηθήσεται παρὲξ τῶν ὑπαρχόν-
των ἐν τοῖς ἀνάλογον ἀριθμοῖς. ἔστωσαν ἀπὸ μονά-
δος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ.
ὁ δὲ μετὰ τὴν μονάδα ὁ Α πρῶτος ἔστω· λέγω ὅτι ὁ μέ-
γιστος αὐτῶν ὁ Δ, ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται πα-
ρὲξ τῶν Α, Β, Γ. εἰ γὰρ δυνατόν, μετρείσθω ὑπὸ τοῦ Ε· καὶ
ὁ Ε μηδενὶ τῶν Α, Β, Γ ἔστω ὁ αὐτός· φανερὸν δὴ ὅτι
ὁ Ε πρῶτος οὐκ ἔστιν· εἰ γὰρ ὁ Ε πρῶτός ἐστι καὶ μετρεῖ
τὸν Δ, καὶ τὸν Α μετρήσει πρῶτον ὄντα, μὴ ὢν αὐτῷ ὁ
αὐτός· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα ὁ Ε πρῶτός ἐστι·
σύνθετος ἄρα· πᾶς δὲ σύνθετος ἀριθμὸς ὑπὸ
πρώτου τινὸς ἀριθμοῦ μετρεῖται· λέγω δὴ ὅτι ὑπ' οὐ-
δενὸς ἄλλου πρώτου μετρηθήσεται πλὴν τοῦ Α· εἰ γὰρ
ὑφ' ἑτέρου μετρεῖται ὁ Ε, ὁ δὲ Ε τὸν Δ μετρεῖ, κἀκεῖνος
ἄρα τὸν Δ μετρήσει· ὥστε καὶ τὸν Α μετρήσει πρῶτον ὄν-
τα, μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον· ὁ Α ἄ-
ρα τὸν Ε μετρεῖ· καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν
κατὰ τὸν Ζ· λέγω ὅτι ὁ Ζ οὐδενὶ τῶν Α, Β, Γ ἐστὶν ὁ αὐτός·
καὶ μετρεῖ τὸν Δ κατὰ τὸν Ε· καὶ εἷς ἄρα τῶν Α, Β, Γ τὸν Δ
μετρεῖ κατὰ τὸν Ε· ἀλλ' εἷς τῶν Α, Β, Γ τὸν Δ μετρεῖ κα-
τά τινα τῶν Α, Β, Γ· καὶ ὁ Ε ἄρα ἑνί τῶν Α, Β, Γ ἐστὶν ὁ αὐτός.



EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo